# Regions (/allregions) : Asia Minor (/regions/14) : Phrygia (/regions/252)

Ramsay, Cities and Bishoprics (/book/622?location=252) 722,657[6]

← Ramsay, Cities and Bishoprics 722,657[5] (/text/271204?bookid=622&location=252) Ramsay, Cities and Bishoprics 730,658 → (/text/271206?bookid=622&location=252)

[ ] Phryg. — Hieropolis (Koçhisar): Hüdāi Kaplicasi — bef. 216 AD — IChUR(1) II,1.xv — SEG 30.1479

[ἐ]κ̣λεκτῆς πόλε̣ως ὁ πολεί[της] τ̣οῦτ' ἐποίη̣[σα]
[ζῶν, ἵ]ν̣' ἔχω φανερ̣[ὴν] σώματος ἔνθα θέσιν,
οὔνομ' 〈Ἀβέρκιος ὢν ὁ〉 μαθητὴς ποιμένος ἁγνοῦ,
[ὃς βόσκει προβάτων ἀγέλας ὄρεσιν πεδίοις τε],
[ὀφθαλμοὺς ὃς ἔχει μεγάλους πάντῃ καθορῶντας]·
[οὗτος γάρ μ' ἐδίδαξε — — γράμματα πιστά],
εἰς Ῥώμη[ν ὃς ἔπεμψεν] ἐμὲν βασ̣ι̣λ̣[ίδ' ἀναθρῆσαι]
καὶ βασίλισσ̣[αν ἰδεῖν χρυσό]στολον χρυ̣[σοπέδιλον].
λαὸν δ' εἶδον̣ ἐ̣[κεῖ λαμπρὰν] σφραγεῖδαν ἔ̣[χοντα]
καὶ Συρίης πέ[δον εἶδα] καὶ ἄστεα πάν[τα, Νισῖβιν]
Εὐφράτην διαβ̣[άς· πάν]τῃ δ' ἔσχον συνο̣[μαίμους].
Π̣α̣ῦ̣λ̣ο̣ν̣ ἔχ̣ω̣ν̣ ἐπ̣' ὀ̣[χῳ]· Πίστις π̣[άντῃ δὲ προῆγε]
καὶ παρέθηκε̣ [τροφὴν] πάντῃ ἰχθὺν ἀ[πὸ πηγῆς]
πανμεγέθη καθ[αρόν, οὗ] ἐδράξατο παρθέ[νος ἁγνή],
καὶ τοῦτον ἐπέ[δωκε φί]λ̣ο̣ι̣ς̣ ἐ̣σ̣θ̣ε̣[ῖν διὰ παντός],
οἶνον χρηστὸν ἔχουσα, κέρασμα διδοῦσα μετ' ἄρτου.
ταῦτα παρεστὼς εἶπον Ἀβέρκιος ὧδε γραφῆναι,
ἑβδομηκοστὸν ἔτος καὶ δεύτερον ἦγον ἀληθῶς.
ταῦθ' ὁ νοῶν εὔξαιτο ὑπὲρ Ἀβερκίου πᾶς ὁ συνῳ̣δός.
οὐ μέντοι τύμβῳ τις ἐμῷ ἕτερόν τινα θήσει.
εἰ δ' οὖν Ῥωμαίων ταμείῳ̣ θήσ〈ει〉 δισχείλια 〈χ〉ρυσᾶ
καὶ χ̣ρηστῇ̣ πατρίδι̣ Ἱεροπόλει χείλια χρυσᾶ.

PH271205 (/text/271205)